Ἐμποδοῦται δὲ τὰ εἰρημένα πλείοσι μέν, καὶ πρὸ τῶν ἄλλων λόγῳ τοιῷδε. ἐκεῖνο γὰρ ὁρίζεται ἐνταῦθα, ὅπερ κατηγορεῖται κατὰ πλειόνων Εἰδῶν. κατηγορεῖται δὲ κατὰ πλειόνων Εἰδῶν ἡ αὐτὴ φύσις, ἥτις ποτ' ἂν εἴη γενική, καὶ οὐχὶ ἡ σχέσις, ἣν οἱ πολλοί φασι κατ' ἐπίνοιαν ὄν. κατὰ γὰρ τοῦ Ἀνθρώπου, Ἵππου, Λέοντος, καὶ τῶν ἄλλων εἰδῶν, ἡ φύσις τοῦ Ζώου κατηγορεῖται ὡς ἐνυπάρχουσα τούτοις. φαμὲν γὰρ τὸν Ἄνθρωπον ὅτι ἐστὶ Ζῶον, καὶ τὸν Ἵππον, καὶ Λέοντα. οὐδεὶς δ' ἂν φαίη τὸν Ἄνθρωπον Γένος, ἤτοι τὴν γενικὴν σχέσιν. ἐπειδὴ δὲ ἐπὶ πάσης ὑπογραφῆς λαμβάνεταί τι ὡς Γένος, καὶ ἐπὶ τῆς προκειμένης Γένους χώραν ἀναπληροῖ τὸ κατηγορούμενον πρᾶγμα κατὰ πλειόνων, ἤτοι ἡ φύσις ἡ καθόλου. ὡσεὶ ἔλεγεν.

Γένος ἐστὶ πᾶσα φύσις καθόλου γενική, πραγματικῶς ἐνυπάρχουσα τοῖς ὑφ' αὐτό. ὅπερ δηλοῦται διὰ τὸ εἰπεῖν τὸ κατηγορούμενον πρᾶγμα κατὰ πλειόνων. εἰ δέ τις εἴπῃ τίνος χάριν τὸ πρᾶγμα παραλαμβάνεται ἐν τῇ ἐξηγήσει, ὅπερ οὐ κεῖται ἐν τῇ ὑπογραφῇ, ῥηθήσεται πρὸς αὐτόν. ὅτι τὸ κατηγορούμενον ἐπιθέτου λόγον ἔχον, ἀναγκαίως ἀπαιτεῖ ὡς βάσιν οἰκείαν οὐσιαστικόν τι. τοιοῦτον ἐνταῦθα συνεννοεῖται τὸ πρᾶγμα.

Δείκνυται τὸ κατηγορούμενον κατὰ πλειόνων πρᾶγμα, Γένους λόγον ἔχειν καὶ ἐπὶ τῆς ὑπογραφῆς. ὅτι τὸ Γένος ὁμοίως ὑπάρχει ἐν πᾶσι τοῖς Εἴδεσι. καὶ τὸ κατὰ πλειόνων κατηγορούμενον πρᾶγμα, ὁμοίως ἐν πᾶσιν ὑπάρχει τοῖς καθόλου. πάντα γὰρ κατηγορεῖται κατὰ πλειόνων ὡς πράγματα. καθ' ὃ καὶ ἀντιδιαστέλλεται τῶν καθέκαστα καὶ ἀτόμων. ἅπερ καθ' ἑνὸς λέγεται καὶ οὐ κατὰ πλειόνων. Ταύτην δὲ τὴν ὑπογραφὴν μετήνεγκεν ὁ Πορφύριος ἀπὸ τῶν Τοπικῶν, ἧς εἰς ἀνάπτυξιν διαιρεῖ τὰ κατηγορούμενα, καὶ δείκνυσι διὰ τῆς ἐκτεθείσης ὑπογραφῆς ἀντιδιαστελλόμενον τὸ Γένος πάντων τῶν ὁπωσδήποτε κατηγορουμένων. ἔστι δὲ ἡ διαίρεσις τοιαύτη. τὰ κατηγορούμενα ἢ καθ' ἑνὸς μόνου κατηγορεῖται, οἷον Σωκράτης, καὶ τό, οὗτος. ἢ κατὰ πλειόνων. καὶ τῶν κατὰ πλειόνων κατηγορουμένων, τὰ μὲν ἐν τῷ τί ἐστι κατηγορεῖται, ὡς τὸ Γένος καὶ τὸ Εἶδος, τὰ δὲ ἐν τῷ ὁποῖόν τί ἐστιν, ὡς ἡ Διαφορά, καὶ τὸ Ἴδιον, καὶ τὸ κοινῶς Συμβεβηκός.

Ὅθεν συνάγεται ὅτι ἐπὶ τῆς ἐκτεθείσης ὑπογραφῆς τὸ μὲν κατηγορούμενον πρᾶγμα Γένους χώραν ἐπέχει, τὰ δὲ λοιπὰ Διαφορᾶς. ὧν διὰ μὲν τοῦ κατὰ πλειόνων κατηγορεῖσθαι, ἀντιδιαστέλλεται τῶν ἀτόμων καθ' ἑνὸς μόνου κατηγορουμένων. διὰ δὲ τοῦ διαφερόντων τῷ εἴδει. ἐκ τοῦ Εἴδους διαφέρει, κατὰ διαφερόντων τῷ ἀριθμῷ κατηγορουμένου. τῷ δὲ ἐν τῷ τί

ἐςι κατηγορεῖσθαι, τῶν λοιπῶν τειῶν διενήνοχε, Διαφορᾶς, Ἰδίου, καὶ Συμβεβηκότος. ἐρωτήσαντος γάρ τινος τί ἐςι Σωκράτης; τὸ Εἶδος ἀποκρινόμεθα, ὅτι ἐςὶν Ἄνθρωπος. Εἰδὲ τί ἐςιν ἄνθρωπος ἐρωτώη; τὸ Γένος, ὅτι ζῶον. διὸ καὶ ταῦτα μόνα ἐν τῷ τί ἐςι κατηγορεῖται. ὅθεν συνάγεται ὅτι οἰκεία, καὶ ἀντίςροφός ἐςι τῷ ὑπογραφομένῳ ἡ ὑπογραφὴ αὕτη. οὔσης γὰρ ἐκείνης καλλίςης ὑπογραφῆς, ἥτις τὴν φύσιν τοῦ ὑποκειμένου πράγματος δηλοῦσα, ἀπό τε τῶν ὁμογενῶν καὶ ἑτερογενῶν αὐτὸ διαςέλλει, μήτε κατά τι περιττεύουσα, μήτε ἐλλείπουσα, εἴη αὖ αὕτη ἡ ἐκτεθεῖσα καλλίςη ὑπογραφὴ, οἰκεία τε καὶ ἀντίςροφος τῷ Γένει.

Ἰςέον ὅτι τὸ ὑπογραφόμενον ἐνταῦθα τῷ Πορφυρίῳ, ἐςὶ τὸ ἁπλῶς καὶ καθολικώτατον Γένος. διὰ τοῦτο μὴ δυνάμενος ὁ Πορφύριος κυρίως ὁρισμὸν ἀποδοῦναι τοῦ τοιούτου, δι' ὑπογραφῆς αὐτὸ ἐσήμανεν. ἃ γὰρ μὴ δυνάμεθα ὁρίσαι, δι' ὑπογραφῆς ταῦτα σημαίνομεν. διὸ καὶ τὸ ἐκτεθὲν Γένος ὑπεγράφη. Πρῶτον μὲν ὡς εἴρηται ὅτι ἐςὶν ἁπλῶς καὶ καθολικώτατον Γένος ἐφαρμόσαι δυνάμενον παντὶ Γένει. τοῦ δὲ καθολικωτάτου Γένους, οὐκ ἔςιν εὑρεῖν Γένος ἀφ' οὗ ὁρισθείη. οὕτω γὰρ οὐκ αὖ εἴη καθολικώτατον. Γένους δὲ μὴ ὄντος, οὐδὲ ὁρισμὸν ἐνδέχεται εἶναι. ὁ γὰρ ὁρισμὸς σύγκειται ἐκ Γένους καὶ συςατικῶν Διαφορῶν. αἱ γὰρ διαφοραὶ διαιροῦσαι τὰ Γένη, τὰ Εἴδη συνιςῶσι. οὗ ἄρα μὴ ἐςὶ Γένη, οὐδὲ συςατικὰς Διαφορὰς ἐνδέχεται εἶναι. Δεύτερον δὲ ὡς καὶ ἀνωτέρω εἴρηται, ὅτι τὸ Γένος τῶν ὁμωνύμων ἐςὶ, (διχῶς γὰρ λέγεται.) τὰ δὲ ὁμώνυμα οὐκ ἔςιν ὁριςικῷ ἀποδοῦναι λόγῳ, ἐπεὶ ὀνόματα μόνον ἐςὶ ψιλὰ τοῖς πράγμασι τοῖς ὑπ' ἐκείνων σημαινομένοις διαφέροντα. οἱ δὲ ὁρισμοὶ οὐσιῶν εἰσιν ὁρισμοί. ὧν δὲ πραγμάτων ὁρισμοί εἰσιν οἱ αὐτοὶ, ταῦτα καὶ πράγματα εἰσὶ τὰ αὐτά. ὅθεν τὰ ὁμώνυμα οὐκ ὄντα τὰ αὐτὰ πράγματα, οὐδὲ ὁρισμῷ περιληφθῆναι ἐνδέχεται, ἀλλὰ μόνον δι' ὑπογραφῆς δηλοῦται. Πρὸς ταῦτα ἴσως ἀπορήσειέ τις, ὅτι εἰ ὁ ὁρισμὸς οὐσίαν σημαίνει, τὰ δὲ ὁμώνυμα οὐχ ὁριζόμεθα ὅτι ἐςὶ ψιλὰ ὀνόματα, διατὶ αὐτῶν ὑπογραφὴν ἀποδίδομεν; καὶ γὰρ ἡ ὑπογραφὴ διὰ τῆς συνδρομῆς τῶν συμβεβηκότων τὴν ὑποκειμένην αὐτῇ οὐσίαν δηλοῖ. Ἐπεὶ τοιγαροῦν τὰ ὁμώνυμα διὰ μιᾶς ὑπογραφῆς ἀποδίδονται, καὶ δι' αὐτῆς εἰς ἔννοιαν τῆς ὑποκειμένης οὐσίας ἐρχόμεθα, εὑρεθήσεται οὐ μόνα τὰ ὀνόματα, ἀλλὰ καὶ πράγματα τὰ αὐτὰ, ὅπερ ἄτοπον. εὑρεθήσεται γὰρ τὰ δέκα γένη ταυτὰ, οἷς ἐςὶ γένος ὁμώνυμον.

Ἡ λύσις τῆς ἀπορίας ταύτης, φέρεται παρ' Ἀμμωνίῳ, ὅτι καὶ τοῖς διαφέρουσι κατ' οὐσίαν, ἐνδέχεται εἶναι τὰ αὐτὰ συμβεβηκότα καθ' ἃ ἡ ὑπο-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΔΙΕΥΘΥΝΤΗΣ
Ε.Γ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ποχραφὴ γίνεται. ὥσπερ γὰρ ἡ οὐσία περιεκτικὴ σώματος καὶ ἀσωμάτου, Γένος οὖσα τούτων, ἐκείνων ὄντων εἰδῶν, οὕτω καὶ τὸ ποσὸν περιεκτικόν ἐστι τοῦ συνεχοῦς καὶ διωρισμένου, Γένος ὂν τούτων, καὶ τὸ ποιὸν ὡσαύτως, καὶ τὰ ἄλλα ὁμοίως. ὥστε ἡ αὐτὴ σχέσις ταῖς κατηγορίαις πᾶσι συμβέβηκε, καὶ οὐκ ἔστι θαυμαστὸν, εἰ τῶν κατ' οὐσίαν διαφερόντων, ἐνδέχεται μίαν ὑπογραφὴν εἶναι. τὰ δὲ ὑπογραφόμενα πράγματα, μὴ γίνεσθαι ταὐτά. πρόσεστι γὰρ ἐν τοῖς δέκα Γένεσιν, ὁμοίως τὸ κατὰ πλειόνων κατηγορεῖσθαι, ἀλλ' οὐ κατὰ τῶν αὐτῶν, ἢ κατὰ τοσούτων. ἡ μὲν γὰρ τῶν κατηγοριῶν, εἰ τύχοι, κατηγορεῖται κατὰ τεσσάρων, ἢ πέντε Εἰδῶν. ἡ δὲ κατὰ πλειόνων, ἢ ἐλαττόνων, ἅπερ καὶ τῷ εἴδει καὶ τῇ ὑπάρξει διαφέρουσιν. ἐξ ὧν καὶ τὰ τούτων γένη διαφέρει. ὅθεν οὐκ ἄτοπον τὰ αὐτὰ συμβεβηκότα διαφόροις ἐνυπάρχειν πράγμασιν.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Τριχῶς διαιρεῖται τὸ παρὰ Πορφυρίῳ περὶ Γένους κεφάλαιον.

- α. ἐν ᾧ τὰ διάφορα σημαινόμενα τοῦ γένους ἐκτίθεται.
  - α. γένος λέγεται ἡ ἄθροισις καθ' ἣν ἔχουσί τινες σχέσιν τινὰ συγγενείας πρὸς ἀλλήλους, καὶ πρὸς ἕν τι πρῶτον.
  - β. ὅθεν ἡ ἀρχὴ τῆς ἑκάστου γενέσεως. καὶ αὐτὸ διχῶς.
    - Ἢ μὲν φυσικῶς· ὁ πατήρ.
    - Ἢ δὲ τοπικῶς· ἡ πατρίς.
  - γ. γένος ᾧ ὑπόκειται τὰ εἴδη.
- β. ἐν ᾧ διαφόρως ὑπογράφει τὸ σημαινόμενον περὶ οὗ ὁ λόγος.
  - α. καθ' ὃ τὸ γένος διαφέρεται πρὸς τὸ εἶδος. γένος ἐστὶ τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει ἐν τῷ τί ἐστι κατηγορούμενον.
  - β. τὸ εἶδος πρὸς τὸ γένος. γένος ἐστὶν ᾧ ὑπόκειται τὰ εἴδη.
- γ. ἐν ᾧ τὰς ἀποδοθείσας ὑπογραφὰς διεξοδικώτερον ἀναπτύσσει.
  - α. διὰ τοῦ κατὰ πλειόνων κατηγορεῖσθαι αὐτὸ διαστέλλεται τῶν ἀτόμων, καθ' ἑνὸς μόνου κατηγορουμένων.
  - β. διὰ τοῦ διαφερόντων τῷ εἴδει, ἐκ τοῦ εἴδους διαφέρει, κατὰ διαφερόντων τῷ ἀριθμῷ κατηγορουμένου.
  - γ. τῷ ἐν τῷ τί ἐστι κατηγορεῖσθαι τῶν λοιπῶν τριῶν διενήνοχε, διαφορᾶς, ἰδίου, καὶ συμβεβηκότος.

## Περὶ Εἴδους.

Μετὰ τὴν ἔκθεσιν τοῦ Γένους προσεχῶς ὁ Πορφύριος τὴν διάληψιν περὶ τοῦ Εἴδους ποιεῖται, τὴν κατὰ διδασκαλίαν τάξιν κἀνταῦ-

θα

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

θαι ἐπιτηρῶν, εἰ καὶ μὴ ἁπλῶς τὴν κατὰ φύσιν. ἡ γὰρ διαφορὰ ὡς ἁπλουστέρα τε καὶ συστατικὴ τοῦ Εἴδους προληπτέα ἐδόκει. μέρος γὰρ ἐστιν ἡ διαφορὰ τοῦ Εἴδους. τὰ δὲ μέρη ἀναντιῤῥήτως προηγεῖται τοῦ ὅλου, ὥσπερ ἐπὶ τῆς συνθέσεως, οὕτω καὶ ἐπὶ τῆς κατὰ φύσιν γνώσεως. ἀλλὰ τῷ γε λόγῳ τῶν πρός τι, καὶ τὴν κατὰ φύσιν τάξιν τετηρηκὼς φαίνεται. τὰ γὰρ πρός τι ἅμα τῇ φύσει εἶναι λέγεται πρὸς τοῦ Φιλοσόφου, καὶ γινώσκεσθαι ὁμοίως. τὸ δὲ Γένος καὶ Εἶδος τῶν πρός τι εἰσί. τὸ γὰρ Εἶδος Γένους λέγεται Εἶδος, ὥσπερ καὶ τὸ Γένος Εἴδους ἐστὶ Γένος. ὅθεν καὶ ἐν τοῖς λόγοις (1) ἑκατέρων ἀμφοῖν ἐμνημόνευσε. προσέτι ὅτι τὸ Εἶδος κατηγορεῖται ἐν τῷ τί ἐστιν, ἡ δὲ διαφορὰ ἐν τῷ ὁποῖόν τί ἐστι. προηγεῖται δὲ ἀεὶ ἐπὶ τοῦ αὐτοῦ Πράγματος ἡ ζήτησις καὶ κατηγορία τοῦ τί ἐστι, τῆς ζητήσεως καὶ κατηγορίας τῆς γινομένης διὰ τοῦ ὁποῖόν τί ἐστιν. ὅθεν ὁ Πορφύριος τετηρηκὼς ἅμα φαίνεται τὴν τῆς φύσεως τάξιν, καὶ τὴν τῆς διδασκαλίας. τὸ γὰρ Εἶδος ἅπερ ἐστὶ σχετικὸν τοῦ Γένους ἅμα τῇ φύσει ἐν ἐκείνῳ, προηγεῖται κατὰ φύσιν τῆς Διαφορᾶς. ἀπὸ δὲ τῶν κατὰ φύσιν ἀρχόμενοι, ῥᾷον μανθάνομεν. προηγεῖται καὶ κατὰ τὴν τῆς διδασκαλίας. κέχρηται δὲ ὁ Πορφύριος καὶ ἐπὶ τοῦ παρόντος τῷ αὐτῷ κανόνι, ὥσπερ καὶ ἐπὶ τοῦ Γένους. διαιρεῖ γὰρ τὸ περὶ Εἴδους Κεφάλαιον εἰς πέντε μέρη, ὧν ἐπὶ μὲν τοῦ πρώτου τὰ διάφορα σημαινόμενα τοῦ Εἴδους ἐκτίθεται. Ἐπὶ δὲ τοῦ δευτέρου διαφόρους ὑπογραφὰς ἀποδίδωσι τοῦ περὶ οὗ ὁ λόγος. ἐν δὲ τῷ τρίτῳ ἐπιδιδάσκει τὰς αὐτὰς διεξοδικώτερον. ὧν εἰς κατάληψιν τρανοτέραν ἐδέησεν αὐτῷ τὴν τάξιν ἐκθέσθαι τῶν κατηγορουμένων ἐπὶ μιᾶς κατηγορίας. τέταρτον διέξεισι τὰς διαφορὰς αἷς πρὸς ἄλληλα χωρίζονται τὰ κείμενα ἐν ἐκείνῃ τῇ τάξει. τελευταῖον δὲ περὶ ἀτόμου, τί τε ἐστὶ, καὶ ποσαχῶς λέγεται διδάσκει.

## Σημαινόμενα τοῦ Εἴδους.

ΤΑ` σημαινόμενα τοῦ Εἴδους εἰσὶ πολλὰ καὶ διάφορα. ἄλλως γὰρ ταύτην τὴν φωνὴν οἱ Γραμματικοὶ, καὶ ἄλλως οἱ Ῥήτορες ἐκλαμβάνουσιν. οἱ μὲν Γραμματικοὶ εἴδη ὀνομάτων, ἀντωνυμιῶν, καὶ παραγωγῶν, προσέτι τε ῥημάτων καὶ ἐπιῤῥημάτων γινώσκουσιν, οἱ δὲ Ῥήτορες εἴδη λόγων, καὶ εἴδη περιόδων, καὶ εἴδη προβλημάτων κατονομάζουσι. παρὰ δὲ Φυσικοῖς, Εἶδος λέγεται θάτερον μέρος τοῦ συνθέτου, ὃ καὶ μορφὴ καλεῖσθαι.

(1) Ἤτοι ὁρισμοῖς, ἢ ὑπογραφαῖς τύπῳ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΘΕΡΙΑΝΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

θαι εἴωθε. προσέτι λέγεται κατ' αὐτοὺς εἴδη, οἷς ὡς εἰκόσι κέχρηται ὁ νοῦς εἰς ἀντίληψιν τῶν ὄντων. ἀλλὰ καὶ αἱ νοεραὶ Οὐσίαι εἴδη κεχωρισμένα λέγονται παρ' αὐτοῖς. ὁ Πορφύριος μέν τοι οὐκ ἐχρήσατο πᾶσι τοῖς ὑπὸ τῆς τοιᾶσδε φωνῆς σημαινομένοις, ὅτι οὐδὲ πάντα συμβάλλεται εἰς ἔννοιαν τοῦ παρὰ λογικοῖς Εἴδους, ἀλλ' ἠρκέσθη δύο μόνα σημαινόμενα ταύτης ἐκθέσθαι, τὰ λοιπὰ παραλιπών. πρῶτον τὴν εὐπρέπειαν καὶ εὐσχημοσύνην καθ' ἣν εὐειδῆ λέγομεν τὸν τοιούτῳ κεκοσμημένον εἴδει. ἐφ' ᾧ καὶ εἰσάγει τὸν Ποιητὴν λέγοντα, πρῶτον εἶδος ἄξιον τυραννίδος. μεθ' ὃ ἐπιφέρει τὸ κατὰ Φιλοσόφους Εἶδος. ταῦτα δὲ μόνα ἐκτίθεται ὁ Πορφύριος ὡς ἔχοντά τινα πρὸς ἑαυτὰ ὁμοιότητα. ἔστι δὲ τὸ λογικὸν (1) Εἶδος οἷον εὐπρέπεια, κάλλος, καὶ τελειότης τοῦ Γένους, ὥσπερ καὶ ἡ εὐπρέπεια τοῦ σώματος. τὸ γὰρ Εἶδος παρ' Ἀριστοτέλει, ἀντὶ τῆς μορφῆς λαμβάνεται, ὃ καλὸν καὶ ἐφετὸν ὁ Ἀριστοτέλης ὠνόμασε. τὴν γὰρ ὕλην καθ' ἑαυτὴν ἄμορφον, καὶ ἀνείδεον οὖσαν, καὶ δυνάμει λεγομένην ὄν, εἰς ἐνέργειαν ἄγει, καὶ οἱονεὶ εὐειδῆ καθίστησι.

## Ἔκθεσις τῶν ἐν τῷ β΄. μέρει.

ὙΠογράφει δὲ ὁ Πορφύριος τὸ ἐκτεθὲν σημαινόμενον τοῦ Εἴδους τριχῶς, κατὰ τὴν τριττὴν τῆς θεωρουμένης ἐπ' αὐτὸ σχέσεως. καθὸ μὲν γὰρ τὸ Εἶδος ἐπὶ τὸ Γένος ἀναφέρεται, Εἶδος εἶναι λέγεται τὸ τινὶ γένει ἀμέσως ὑποκείμενον. καθὸ δὲ τὸ Γένος ἐπὶ τὸ Εἶδος ἀναφέρεται, Εἶδος εἶναι λέγεται τὸ ταττόμενον ὑπὸ τὸ Γένος, καὶ οὗ τὸ Γένος ἐν τῷ τί ἐστι κατηγορεῖται. καθ' ἣν δὲ σχέσιν τὸ εἶδος πρὸς τὰ ὑφ' αὐτὸ ἔσχηκεν, ἤτοι τὰ ἄτομα, ὅτι ἐστὶ τὸ κατὰ πλειόνων, καὶ διαφερόντων τῷ ἀριθμῷ, ἐν τῷ τί ἐστι κατηγορούμενον.

## Ἀπορία.

ἘΝταῦθα οὐκ ἀπεικότως ἀπορήσειεν ἄν τις πρὸς τὰ λεγόμενα τῷ Πορφυρίῳ λέγων οὑτωσί. τὸ ὁρίζειν τινὰ θάτερον διὰ θατέρου, κακία κρίνεται παρὰ Φιλοσόφοις, ὅτι τὸ αὐτὸ γίνεται γνωριμώτερον, καὶ ἧττον γνώριμον. δι' οὗ γὰρ ἕτερον ὁρίζομεν καὶ δηλοποιοῦμεν, γνωριμώτερον εἶναι.

(1) Τὸ παρὰ φυσικοῖς σύνθετον τοῦτο, τὸ εἶδος τῶν μεταφυσικῶν τε καὶ λογικῶν. τὸ δὲ παρὰ μεταφυσικοῖς εἶδος, τοῦτο τοῖς μεταφυσικοῖς τε καὶ λογικοῖς διαφορά. ὃ δὲ τῶν φυσικῶν ὕλη, τοῦτο τῶν μεταφυσικῶν καὶ λογικῶν γένος.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ναι χρεὼν τοῦ ὁριζομένου. ἵνα δὲ σαφὲς τὸ λεγόμενον γένηται, ὀλίγ' ἄττα περὶ τούτου λεκτέον. πᾶσα δεῖξις, ἢ ἐκ τοῦ ἀσαφοῦς τὸ σαφὲς ἀποδείκνυσιν, ἢ ἐκ τοῦ σαφοῦς τὸ ἀσαφὲς, ἢ ἐκ τοῦ ἀσαφοῦς τὸ ἀσαφὲς, ἢ ἐκ τοῦ σαφοῦς τὸ σαφές. ἐκ τούτων οὖν τῶν τεττάρων συζυγιῶν τῆς δείξεως, μόνη ἐςὶ κυρίως δεῖξις ἡ ἐκ τοῦ σαφοῦς τὸ ἀσαφὲς δεικνύουσα. αἱ δ' ἄλλαι τρεῖς ψευδαὶ, καὶ οὐδ' ὅλως δείξεις ἂν εἶεν. οὔτε γὰρ τὸ σαφὲς ἐκ τοῦ σαφοῦς δηλοῦται, οὔτε τὸ ἀσαφὲς ἐκ τοῦ ἀσαφοῦς. τὰ δὲ σαφῆ ἐκ τῶν ἀσαφῶν πειρᾶσθαι δεικνύναι, οὐ μόνον ὅτι ἄτοπον, ἀλλὰ καὶ μωρίας ἀνάπλεον. μία ἄρα μόνη ἐςὶ κυρίως δεῖξις ἡ ἐκ τοῦ σαφοῦς τὸ ἀσαφὲς δεικνύουσα. ὅταν δέ τις διὰ σαφῶν τινων τὶ συμπεραίνων ὡς ἀσαφὲς, εἶτα διὰ τούτων πάλιν τὰ δι' ὧν τοῦτο συνεπεράνθη ὡς ἀσαφῆ συμπεραίνῃ, διάλληλος δεῖξις λέγεται. τὰ αὐτὰ γὰρ καὶ σαφῆ καὶ ἀσαφῆ ποιεῖ, ἥτις τοῖς Φιλοσόφοις διαβέβληται. Ἐπεὶ οὖν ὁ Πορφύριος διὰ τοῦ Εἴδους τὸ Γένος ὑπέγραψεν ὡς γνωριμώτερον, καὶ πάλιν διὰ τοῦ Γένους τὸ Εἶδος, δῆλον ὅτι θάτερον διὰ θατέρου. ὥςε τὰ αὐτὰ καὶ γνώριμα, καὶ ἧττον γνώριμα πεποίηκε κατὰ τὴν διάλληλον δεῖξιν. ἡ δὲ διάλληλος δεῖξις διαβεβλημένη. ἄρα αἱ ὑπογραφαὶ τοῦ Πορφυρίου διαβεβλημέναι.

## Λύσις.

ΤΗν ἐπίλυσιν τοῦ ἀπορηθέντος αὐτὸς ὁ Πορφύριος ἐν τῇ ἐκθέσει τοῦ κεφαλαίου ἐκτίθεται. ᾔδετο γὰρ τῇ διαλλήλῳ κεχρημένος δείξει. διὸ καὶ φθάσας ἀπελογήσατο, ὅτι τὸ Γένος Εἴδους ἐςὶ Γένος, καὶ τὸ Εἶδος Γένους ἐςὶν Εἶδος. καὶ ἀδύνατον τούτων θάτερον, χωρὶς θατέρου γνωρισθῆναι. ἐπὶ γὰρ τῶν σχετικῶν οὐχ ὅπως οὐκ ἐςὶν ἄτοπον θάτερον διὰ θατέρου ἀποδοῦναι, ἀλλὰ καὶ ἀναγκαῖον. εἴγε ταῦτα εἰσὶν οὐ μόνον ἅμα τῇ φύσει, ἀλλὰ καὶ τῇ γνώσει, καὶ οὐκ ἄλλως, ὅτι μὴ δι' ἀλλήλων πέφυκε γνωρίζεσθαι. ὥςε ἀνάγκη τὸν περὶ θατέρου τούτων τὴν διδασκαλίαν ποιούμενον, καὶ θατέρου μνησθῆναι. ὁ γὰρ τὸ ἕτερον τῶν πρός τι ἀγνοῶν, οὐδὲ τὸ ἕτερον εἴσεται. τοιαῦτα δὲ εἰσὶ τὰ Γένη καὶ τὰ Εἴδη. δι' ὃ καὶ ὀρθῶς ὑπογράφεται δι' ἀλλήλων.

Ὅτι μὲν οὖν οἱ ἀποδοθέντες οὗτοι τοῦ Εἴδους λόγοι οὐκ εἰσὶν ὁρισμοὶ κυρίως, ἀλλ' ὑπογραφαὶ, δῆλον ἐκ τῶν εἰρημένων ἐν τῷ περὶ Γένους κεφαλαίῳ, περὶ τῶν ἐκείνου ὑπογραφῶν. ὥσπερ γὰρ τὸ Γένος τῶν ὁμωνύμων ἦν, ὡς ταττόμενον ἐν διαφόροις κατηγορίαις, ὧν οὐκ ἦν Γένος συνώνυμον, καὶ ὅτι περὶ τοῦ ἁπλῶς Γένους ὁ λόγος ἦν, ὅπερ παντὶ Γένει ἐφαρμόσαι δυνάμε-

 νθα.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΤΗΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

θαι, οὕτω κἀνταῦθα περὶ τοῦ ἁπλῶς Εἴδους ὁ λόγος ἐστίν. ὅπερ ἐν πάσαις ταῖς κατηγορίαις τάττεσθαι δύναται, καὶ παντὶ Εἴδει ἐφαρμόττεσθαι. ὅθεν διὰ ὑπογραφῆς ἀπεδόθη. τῶν γὰρ καθολικωτάτων οὐκ ἔστιν εὑρεῖν καθολικώτερον, ἐξ οὗ ὁρισθεῖεν.

Κἀνταῦθα τὸ ὑπογραφόμενον ἐστὶ πᾶσαι αἱ εἰδικαὶ φύσεις ἐφ' ὅσον ὑπάρχουσαι ἐν πολλοῖς, κατὰ πολλῶν πεφύκασι κατηγορεῖσθαι. καὶ οὔτε ἡ καθόλου φύσις καθ' ἑαυτήν, οὔτε ἡ εἰδικὴ σχέσις, ἀλλ' ὡς εἴρηται καὶ ἐπὶ τοῦ Γένους, ἡ σχέσις τῆς ταυτότητος τῆς εἰδικῆς φύσεως.

Ἰστέον δὲ ὅτι αἱ ἀποδοθεῖσαι αὗται ὑπογραφαὶ τοῦ Εἴδους, αἱ μὲν πρῶται δύο ἐφαρμόττουσι τῷ Εἴδει, καθόσον ὑποκείμενον λέγεται ἐν ταῖς κατηγορίαις τῆς γενικῆς φύσεως. διαφέρουσι δὲ ἀλλήλων ὥσπερ ἡ ἀνάβασις καὶ ἡ κατάβασις ἐν τῷ αὐτῷ ὑποκειμένῳ οὖσαι. ὅθεν ἐφαρμόττουσι πᾶσι τοῖς Εἴδεσιν, εἰδικωτάτοις τε καὶ ὑπαλλήλοις. ἡ δὲ τρίτη μόνοις τοῖς εἰδικωτάτοις. εἴληπται γὰρ ἀπὸ τοῦ ἐν πολλοῖς ὑπάρχειν καὶ κατὰ πλειόνων κατηγορεῖσθαι, ὅπερ τῇ καθόλου φύσει ἰδιαίτερον προσήκει, ὥσπερ αἱ δύο πρῶται ἐλήφθησαν ἀπὸ τῆς εἰδητικῆς φύσεως, καθ' ὃ περιέχει ἐν ἑαυτῇ τὴν φύσιν τοῦ Γένους. κἀνταῦθα ἐπὶ τῆς ἐκτεθείσης ὑπογραφῆς εἴληπται ὡς Γένος τὸ κατὰ πλειόνων κατηγορούμενον, τὰ δὲ λοιπὰ μόρια τὰ κείμενα ἐν τῇ ὑπογραφῇ, χώραν διαφορᾶς ἀναπληροῖ, ὧν διὰ μὲν τοῦ κατὰ πλειόνων κατηγορεῖσθαι, δηλοῦται ὅτι ἐστὶν ἓν τῶν καθόλου. διὰ δὲ τοῦ διαφερόντων τῷ ἀριθμῷ, διακρίνεται τοῦ Γένους καὶ τῆς Διαφορᾶς, καὶ τοῦ κοινῶς Συμβεβηκότος. ὁμοίως καὶ διὰ τοῦ ἐν τῷ τί ἐστι, διακρίνεται τούτων τε καὶ τοῦ Ἰδίου. χάριν δὲ σαφηνείας τῶν διαφερόντων τῷ ἀριθμῷ, εἰδέναι δέον. ὅτι τὸ ἓν καὶ ταυτὸ, τῷ ἑτέρῳ ἀντίκειται. τῶν δὲ ἀντικειμένων, ὁσαχῶς τὸ ἓν λέγεται, τοσαυταχῶς καὶ τὸ ἕτερον ῥηθήσεται. τὸ τοίνυν ἓν καὶ ταυτὸ τριχῶς λέγεται, τῷ Γένει, Εἴδει τε καὶ Ἀριθμῷ. φέρε εἰπεῖν, ταυτὰ τῷ ἀριθμῷ λέγεται, ὧν τὰ ὀνόματα πλεῖστα ὄντα, τὸ πρᾶγμα ἓν ἐστι καὶ ταυτό. ὡς ξίφος, μάχαιρα, σπάθη, ἃ καὶ πολυώνυμα τοῖς γραμματικοῖς λέγεται. ταυτὰ δὲ τῷ Εἴδει ἐκεῖνα λέγεται, ὧν ἐστὶν ἡ φύσις τοῦ Εἴδους, ὡς Λέων καὶ Λέων, ἢ Ἄνθρωπος καὶ Ἄνθρωπος, Ἵππος καὶ τὰ ὅμοια. ταυτὰ δὲ τῷ Γένει. ὡς τὰ ὑπὸ τὸ αὐτὸ Γένος. ὡς Λέων, Ἄνθρωπος, Ἵππος, καὶ τὰ ὅμοια. ὁμοίως δὲ τὰ ἕτερα, τοῖς εἰρημένοις τρισὶν εἰσὶν ἕτερα. ἢ μόνῳ τῷ ἀριθμῷ, ὡς Πλάτων, Σωκράτης. ἢ καὶ τῷ Εἴδει, ὡς Λέων, Ἵππος. ἢ καὶ τῷ Γένει, ὡς Ζῶον, Φυτόν. τὰ μὲν οὖν ταυτὰ τῷ Γένει οὐκ ἐξ ἀνάγκης ταυτὰ τῷ Εἴδει καὶ ἀριθμῷ. τὸ δὲ ταυτὰ τῷ Εἴδει ἐξ ἀνάγκης μὲν ταυτὰ τῷ Γένει, τῷ δὲ ἀριθμῷ ἐξ ἀνάγκης οὐ ταυτά.



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

τὰ δὲ ταυτὰ τῷ ἀριθμῷ ἐξ ἀνάγκης καὶ Γένει, καὶ Εἴδει ταυτά. ὁμοίως καὶ ἐξ ἐναντίας, τὰ ἕτερα τῷ Γένει, ἐξ ἀνάγκης ἕτερα καὶ τῷ Εἴδει, καὶ τῷ ἀριθμῷ. τὰ δὲ ἕτερα τῷ Εἴδει, οὐκ ἐξ ἀνάγκης ἕτερα τῷ Γένει, τῷ ἀριθμῷ δὲ ἐξ ἀνάγκης. τὰ δὲ ἀριθμῷ ἕτερα, οὔτε τῷ Γένει, οὔτε τῷ Εἴδει ἐξ ἀνάγκης. λέγεται τοίνυν τὸ Εἶδος κατηγορεῖσθαι κατὰ πλειόνων διαφερόντων τῷ ἀριθμῷ, τουτέστι τὸ αὐτὸ Γένος καὶ Εἶδος ἐχόντων, ἑτέρων δὲ μόνον ὄντων τῷ ἀριθμῷ.

## Ἀπορία.

Ἄξιον δὲ ἦν ἴσως ἀπορῆσαι, ὅτι ἐπὶ τοῦ Γένους ἐλέγετο διὰ τὸ μὴ εἶναι Γένος ἀνώτερον, οὐκ ἦν διὰ κυρίως ὁρισμοῦ ἀποδοῦναι τοῦτο. ἐπὶ δὲ τοῦ Εἴδους οὐχ ἕξει χώραν ἡ τοιαύτη αἰτία. τὸ γὰρ Εἶδος ἔσχηκε Γένος, ἀφ' οὗ ἦν ὁρισθῆναι, διὸ οὐ προσηκόντως δι' ὑπογραφῆς ἀπεδόθη.

## Λύσις.

Ἡ λύσις τῆς ἐκτεθείσης ἀπορίας, διττὴ φέρεται. Πρῶτον μὲν ὅτι οὐκ ἦν ὁ λόγος περὶ διωρισμένου Εἴδους, ὡς καὶ ἀνωτέρω ἐλέγετο, ἀλλὰ περὶ τοῦ ἁπλῶς Εἴδους. ὅπερ παντὶ εἴδει ἐφαρμόττει. οὗτινος οὐκ ἔστι Γένος ὡρισμένον διαιρούμενον εἰς Εἴδη, διαιρετικαῖς τε καὶ συστατικαῖς διαφοραῖς, ἀφ' ὧν οἱ ὁρισμοὶ συνίστανται. Δεύτερον ὅτι οἱ ὁρισμοὶ πραγμάτων εἰσὶν ὁρισμοὶ, τὰς φύσεις αὐτῶν δηλοῦντες, τὰ δὲ Εἴδη, καὶ Γένη, καὶ τὰ λοιπὰ τῶν καθόλου, οὐκ εἰσὶ πράγματα, τουτέστιν ἀφωρισμένην φύσιν ἔχοντα, ἀλλὰ σχέσεις πραγμάτων, δηλωτικαὶ τῆς ταυτότητος ἐν οἷς θεωροῦνται. Ἐπεὶ οὖν οἱ ὁρισμοὶ ὡς εἴρηται πραγμάτων εἰσὶν, αὗται δὲ αἱ φωναὶ οὐκ εἰσὶ πράγματα, ἀλλὰ σχέσεις πραγμάτων δηλωτικαὶ, εἰκότως οὐδὲ ὁρισθῆναι δυνατὸν ἦν. οὐ γὰρ ὑπάγονται ὑπὸ μίαν τινὰ τῶν κατηγοριῶν, ἀλλ' ἐν πάσαις θεωροῦνται. διὸ δι' ὑπογραφῆς ἀποδίδονται, ἐκ τῶν συμβεβηκότων αὐταῖς. αὕτη ἡ λύσις πάσῃ φωνῇ ἐφαρμόττει τῶν καθόλου.

Προσέτι ἠδύνατο ἀπορῆσαί τις, ὅτι αἱ πέντε αὗται εἰρημέναι καθόλου φωναὶ, ἐν αἷς καὶ τὸ Εἶδος ἓν ἐστὶ τούτων, ὑπὸ τὴν φωνὴν ὡς ὑπὸ Γένος κοινὸν ὑπάγονται. ὥστε ἡ φωνὴ ἐστὶ τούτων Γένος, αὗται δὲ καθόλου, ἄρα ἡ ἁπλῶς φωνὴ ἔσται καθολικωτέρα τῶν καθόλου, καὶ τοῦ γενικωτάτου



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

γενικωτέρα, ὅπερ ἄτοπον. Πρὸς ὃ ῥητέον. ὅτι αἱ πέντε αὗται φωναὶ, ὡς μὲν φωναὶ ὑπὸ τὴν φωνὴν δήπου ὑπάγονται, ὡς ὑπὸ Γένος. τὰ δὲ ὑπ᾽ αὐτῶν σημαινόμενα ὡς πράγματα θεωρούμενα, οὐχ ὑπάγονται ὑπό τι κοινὸν Γένος. διὸ οὐδὲ τῶν καθόλου ἐστὶν εὑρεῖν καθολικώτερον.

## Σύνοψις τοῦ γ΄. μέρους.

ΕΝ δὲ τῷ τρίτῳ μέρει, προβάλλεται ὁ Πορφύριος εἰς ἀνάπτυξιν τὰς ἀποδοθείσας τοῦ Εἴδους ὑπογραφάς. ἵνα δὲ σαφεστέρα ἡ ἑρμηνεία γένηται, ἐκτίθησιν ἐπὶ μιᾶς κατηγορίας τὴν τάξιν καὶ σειρὰν τῶν κατηγορουμένων ἐν ἐκείνῃ, κατά τε τὸ μᾶλλον καὶ ἧττον καθόλου. ἥτις συμβάλλεται εἰς διάγνωσιν τῶν εἰδικωτάτων καὶ ὑπαλλήλων Εἰδῶν, καὶ ὁμοίως εἰς διάκρισιν τῶν ἀνωτάτω καὶ ὑπαλλήλων Γενῶν. κέχρηται δὲ κατηγορίᾳ τῇ λεγομένῃ Οὐσίᾳ, ὅτι αὕτη καὶ γνωριμωτέρα ἐστὶ, καὶ κυριωτέρα τῶν λοιπῶν. Ἔστι μὲν οὖν τὸ ἀνώτατον κατηγορούμενον ἐπὶ ταύτης τῆς σειρᾶς ἡ Οὐσία, μεθ᾽ ἣν τὸ Σῶμα, καὶ μετ᾽ ἐκεῖνο τὸ Ἔμψυχον, μετὰ δὲ τὸ Ἔμψυχον τὸ Ζῶον, ὑπὸ δὲ τὸ Ζῶον τὸ λογικὸν Ζῶον, καὶ ὑπὸ τὸ λογικὸν Ζῶον ὁ Ἄνθρωπος, ἔσχατον δὲ πάντων τάττεται τὰ καθέκαστα. οἷον ὑπὸ τὸν Ἄνθρωπον, Σωκράτης, Πλάτων, καὶ οἱ λοιποὶ κατὰ μέρος ἄνθρωποι. ἐκκείσθωσαν δὲ ταῦτα ἐπὶ Διαγράμματος εἰς σαφεστέραν κατάληψιν.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006




## Σύνοψις τῶν ἐν τῷ Δ'.

ΤΑύτην τὴν ἐκτεθεῖσαν τάξιν τῶν κατηγορουμένων οἱ Φιλόσοφοι κατηγορίαν εἰώθασιν ἀποκαλεῖν, ἔστι δ' ὅτε καὶ Γένος τοῦ ὄντος. ἥτις ἐστὶ μία τῶν πολυθρυλλήτων ἐκείνων δέκα παρὰ Ἀριστοτέλει. τὰ μὲν οὖν ἀ-

νωτέ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

κατωτάτω τεταγμένα ἐπὶ τῆς τοιαύτης σειρᾶς, προσαγορεύεται τοῖς λογικευομένοις, Γένη γενικώτατα. τὰ δὲ κατωτάτω, ὅσα ἀμέσως τάττεται ἐπὶ τῶν ἀτόμων, Εἴδη εἰδικώτατα. τὰ δὲ μεταξὺ τῶν γενικωτάτων καὶ εἰδικωτάτων, ὑπάλληλα, καὶ Γένη καὶ Εἴδη ἅμα λέγεται. ἐσχήκασι δὲ τὰς τοιαύτας ἐπωνυμίας ἀπὸ τῶν σχέσεων καθ᾽ ἃς πρὸς ἄλληλα ἀναφέρεται. τὰ ἀνώτατα τοιγαροῦν Γένη μίαν καὶ μόνην ἔσχηκε σχέσιν πρὸς τὰ ὑφ᾽ αὐτά, καθ᾽ ὧν κατηγορεῖται ὡς Γένη. διὸ καὶ Γένη λέγεται μόνον, οὐκ ἔτι δὲ Εἴδη. τὰ δὲ κατωτάτω, τὰ ἐπὶ τῶν ἀτόμων ἀμέσως ταττόμενα δύο ἔσχηκε σχέσεις, τὴν μὲν πρὸς τὰ ἀνωτέρω, τὴν δὲ πρὸς τὰ κατωτέρω. προσαγορεύεται δὲ κατ᾽ ἀμφοτέρας, Εἶδος εἰδικώτατον. τετύχηκε δὲ μιᾶς προσηγορίας δυσὶ σχέσεσιν, ὅτι τοῦ αὐτοῦ λόγου εἰσὶν ἀμφότεραι αἱ εἰρημέναι σχέσεις. τῷ γὰρ αὐτῷ λόγῳ τὰ εἰδικώτατα ὑπόκειται τοῖς ἀνωτέρω ὡς Εἴδη, καὶ κατηγορεῖται τῶν ἀτόμων ὁμοίως ὡς Εἴδη. τὰ δὲ μεταξὺ τούτων τεταγμένα ἃ καὶ ὑπάλληλα λέγεται, δύο καὶ ταῦτα ἔσχηκε σχέσεις, τὴν μὲν πρὸς τὰ ἀνωτέρω καθ᾽ ἣν Εἴδη λέγεται, τὴν δὲ πρὸς τὰ κατωτέρω καθ᾽ ὧν κατηγορεῖται, καὶ Γένη κατ᾽ ἐκείνην λέγεται. τοίνυν τὰ ἀνωτέρω κατηγορεῖται μὲν ἀμέσως τῶν προσεχῶς αὐτοῖς ὑποπιπτομένων, δι᾽ ἐκείνων δὲ καὶ τῶν λοιπῶν πάντων μέχρι τῶν ἐσχάτων καὶ ἀτόμων. οἷον ἡ Οὐσία κατηγορεῖται μὲν ἀμέσως τοῦ σώματος, δι᾽ ἐκείνου δὲ καὶ τοῦ ἐμψύχου, διὰ δὲ τοῦ ἐμψύχου καὶ τοῦ ζώου, καὶ καθεξῆς μέχρι Σωκράτους, καὶ Πλάτωνος. οὕτω καὶ τὸ σῶμα κατηγορεῖται μὲν προσεχῶς τοῦ ἐμψύχου, δι᾽ ἐκείνου δὲ καὶ τῶν ἄλλων καθεξῆς πάντων. τὸν αὐτὸν τρόπον ἔχει καὶ τῶν ἐπὶ τῶν λοιπῶν ἐπὶ τῆς αὐτῆς σειρᾶς τεταγμένων.

Ἐπειδὴ τοίνυν τινὰ τῶν ὑπαλλήλων κατά τινα κατηγοροῦνται, ὡς πρὸς τὰ μετ᾽ αὐτά, Γενῶν καὶ αὐτῶν ὄντων, ἃ καὶ τῷ Εἴδει διαφέρουσιν, ἡ τρίτη τοῦ Εἴδους ὑπογραφὴ τούτοις οὐχ ἁρμόσει. καλῶς ἄρα εἴρηται ταύτην μόνην εἶναι τῶν εἰδικωτάτων κατηγορουμένων κατὰ πλειόνων καὶ διαφερόντων τῷ ἀριθμῷ, καὶ οὐχὶ τῶν ὑπαλλήλων.

Ἰστέον ὅτι τὰ ἀνωτέρω κατηγορεῖται τῶν κατωτέρω, ὡς εἴρηται κατὰ φύσιν, ἀπὸ τῶν γενικωτάτων μέχρι τῶν ἀτόμων. τὰ δὲ κατωτέρω οὐκ ἔτι κατηγορηθείη τῶν ἀνωτέρω κατὰ φύσιν. τὸ γὰρ κατηγορούμενον, ἢ καθολικώτερον εἶναι δεῖ τοῦ οὗ κατηγορεῖται, ὡς τὸ ζῶον τοῦ ἀνθρώπου, ἢ ἐπίσης αὐτῷ, ὡς τὸ γελαστικὸν τῷ λογικῷ, ἢ ὁ ἄνθρωπος τῷ λογικῷ. τὰ δὲ κατωτέρω ἧττον ἐστὶ καθόλου τῶν ἀνωτέρω. διὸ οὐ κατηγορεῖται κατὰ φύσιν ἐκείνων, εἰμή πῃ παρὰ φύσιν. ὡς εἴ τις φαίη, τὶ ζῶον ἐστὶν ἄνθρωπος.

Ἔστι μὲν οὖν Γένος γενικώτατον, ὑπὲρ ὃ οὐκ ἔστιν ἄλλο ἐπαναβεβηκὸς



Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Γένος. Εἶδος δὲ εἰδικώτατον, ὑφ' ὃ οὐκ ἔστιν ἕτερον Εἶδος, καὶ ὅπερ εἶδος ὄν, οὐ πέφυκε διαιρεῖσθαι εἰς Εἴδη. ὑπάλληλα δέ εἰσιν ὅσα Γένη τε ἅμα εἰσὶ καὶ Εἴδη πρὸς ἄλλο καὶ ἄλλο ἀναφερόμενα. τὴν αὐτὴν τάξιν δέον τηρεῖν καὶ ἐπὶ πασῶν τῶν κατηγοριῶν, ἐφ' ὧν οὐδέν ἐστι κοινὸν Γένος, ἀλλ' ἐφ' ἑκάστης κατηγορίας τὸ γενικώτατον, οἷον τὶς ἀρχὴ πρώτη ἐστί. τὸ γὰρ ὂν κοινῶς λεγόμενον ἐπὶ πασῶν τῶν κατηγοριῶν, οὐ Γένος αὐτῶν ἐστιν, ἀλλ' ὁμώνυμος φωνή, ὡς τὰ ἀφ' ἑνός, ἢ πρὸς ἕν. καὶ οὐδεμίαν σημαίνει κοινὴν φύσιν ἐνυπάρχουσαν πᾶσιν, οἵαπου σημαίνει τὰ Γένη. εἰσὶ τοιγαροῦν τὰ γενικώτατα Γένη, δέκα, ὥσπερ καὶ αἱ κατηγορίαι. τὰ δὲ εἰδικώτατα Εἴδη, πολλὰ μέν, ἀλλ' οὐκ ἄπειρα. τὰ δὲ ἄτομα εἰσὶ μὲν ἄπειρα, οὐ μὴν ἐνεργείᾳ, ἀλλὰ κατὰ διαδοχήν, καὶ ἐν τῷ γίγνεσθαι. εἰ γὰρ δοίημεν τὰ ἄτομα ἄπειρα ἐνεργείᾳ εἶναι, εὑρεθήσεται τοῦ ἀπείρου ἀπειρότερον, ὅπερ ἄτοπον. κατὰ διαδοχὴν μὲν οὐδὲν κωλύει ἄπειρα εἶναι. ὑποτίθεται γὰρ ἐνταῦθα ὁ Πορφύριος τὸν κόσμον ἀΐδιον κατὰ τοὺς Περιπατητικούς, οὔτ' ἀρχὴν ἐσχηκότα, οὔθ' ἕξοντα τέλος.

## Σύνοψις τῶν ἐν τῷ ε. μέρει.

ΕΝ δὲ τῇ ἐσχάτῃ τοῦ κεφαλαίου περικοπῇ ὁ Πορφύριος ἀναπτύσσει καὶ παραδίδωσι τί ἐστιν ἄτομον, καὶ ποσαχῶς λέγεται. λέγεται μὲν οὖν ἐκ τοῦ μὴ τέμνεσθαι εἰς ἕτερα. ἡ γὰρ τομὴ καὶ διαίρεσις ἐπὶ τοῖς ἀτόμοις διχῶς θεωρεῖται ἐφ' ὅσον ἀνήκει εἰς τὸν παρόντα σκοπόν. ἢ κατὰ ποσότητα, ἢ κατὰ φύσιν. ἐνταῦθα τὰ ἄτομα εἴρηται, ὡς μὴ τεμνόμενα κατὰ φύσιν εἰς ἕτερα κατωτέρω, ὥσπερ τὰ Γένη τέμνεται εἰς τὰ Εἴδη. συνίσταται δὲ ἕκαστον τῶν ἀτόμων καὶ ἀντιδιαστέλλεται τῶν ἄλλων, ἐκ συνδρομῆς διαφόρων συμβεβηκότων, ἅπερ ἅμα πάντα οὐκ ἂν γένοιτο ἐφ' ἑτέρου τινὸς τῶν κατὰ μέρος. φέρε εἰπεῖν, ὡς ὅταν βουλόμεθα τὸν Σωκράτην δηλῶσαι ἄτομον ὄντα, εἴποιμεν ὅτι ἐστὶ Σωφρονίσκου υἱός, Ἀθηναῖος, προγάστωρ, φαλακρός, σιμός, Φιλόσοφος, καὶ εἴτι ἄλλο τούτῳ συμβέβηκεν. ἅπερ ἐνδέχεται καὶ ἐφ' ἑτέροις ἀτόμοις συμβεβηκέναι, οὐ μὴν ἅμα πάντα. ἡ γὰρ ἔλλειψις ἑνὸς τῶν συμβεβηκότων τῷ Σωκράτῃ (εἰ δοίημεν τὰ λοιπὰ πάντα ἐνυπάρχειν ἑτέροις) τὴν διαφορὰν ἀπεργάζεται. ὥστε ἀδύνατον ταῦτα ἅμα πάντα, ὅσα τῷ Σωκράτει συμβέβηκε, συμβεβηκέναι καὶ ἐφ' ἑτέρῳ. ὅθεν συνάξαι τὸν ὁρισμὸν τοῦ ἀτόμου δυνάμεθα, λέγοντες· ἄτομον ἐστὶ τὸ μὴ τεμνόμενον εἰς ἕτερα κατωτέρω καθ' ὧν κατηγορηθείη, συνεστηκὸς ἐκ συνδρομῆς διαφόρων συμβεβηκότων, ἅπερ ἅμα πάντα οὐκ ἂν γένοιτο ἐφ' ἑτέρου τινὸς



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τῶν κατὰ μέρος. Διαιρεῖται δὲ τὸ ἄτομον τριχῶς. ἢ γὰρ κυρίῳ ὀνόματι σημαίνεται, ἢ προσηγορικῷ. καὶ τὰ μὲν κυρίοις ὀνόμασι σημαινόμενα εἰσὶν, οἷον Σωκράτης, Πλάτων, καὶ ὅσ᾽ ἄλλα. τὰ δὲ προσηγορικοῖς ὀνόμασι προφερόμενα, τριχῶς ἐνδέχεται διορισθῆναι, καὶ εἰς ἀτόμου τάξιν καθεστάναι. ἢ γὰρ δεικνύντες διορίζομεν τὰ καθέκαστα ὥς που φαμὲν, οὗτος ὁ ἄνθρωπος, τοῦτο τὸ ζῶον. ἢ ἐξ ὑποθέσεως, ὡς ὅτε Σωφρονίσκου υἱὸν λέγοντες, τὸν Σωκράτην δηλοῦμεν, μόνου καθ᾽ ὑπόθεσιν ὄντος υἱοῦ τῷ Σωφρονίσκῳ τοῦ Σωκράτους. τελευταῖον δηλοῦται τὸ ἄτομον προσθήκῃ τοῦ μερικοῦ προσδιορισμοῦ. οἷον τὶς ἄνθρωπος, τὶς ἵππος. ὅσα γὰρ κατὰ μέρος ἄνθρωπος σημαίνει τὰ τοιαῦτα, καί τοι ἀορίστως.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ



Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Εἰς ε΄. διαιρεῖται τὸ παρὰ Πορφυρίῳ περὶ Εἴδους κεφάλαιον.

- α΄. ἐν ᾧ τὰ διάφορα σημαινόμενα τοῦ Εἴδους ἐκτίθησι.
  - α΄. τὴν δὲ πρέπουσαν καὶ ἀσχηματισμένην καθ᾽ ἣν εὐειδῆ λέγομεν τὸν τοιούτῳ κεκοσμημένον Εἴδει.
  - β΄. τὸ κατὰ Φιλοσόφους εἶδος, καθὸ τὸν ἄνθρωπον εἶδος τοῦ ζώου λέγομεν, καὶ τὸ λευκὸν τοῦ χρώματος.
- β΄. ἐν ᾧ διαφόρους ὑπογραφὰς ἀποδίδωσι τοῦ περὶ οὗ ὁ λόγος.
  - Καθὸ τὸ εἶδος ἐπὶ τὸ γένος ἀναφέρεται, εἶδός ἐστι τὸ τινὶ Γένει ἀμέσως ὑποκείμενον.
  - Καθὸ τὸ γένος ἐπὶ τὸ εἶδος. Εἶδός ἐστι τὸ ταττόμενον ὑπὸ τὸ γένος, καὶ οὗ τὸ γένος ἐν τῷ τί ἐστι κατηγορεῖται.
  - Καθ᾽ ἣν δὲ σχέσιν τὸ Εἶδος πρὸς τὰ ὑφ᾽ αὐτὸ ἔχει, ἤτοι τὰ ἄτομα, Εἶδός ἐστι, τὸ κατὰ πλειόνων, καὶ διαφερόντων τῷ ἀριθμῷ ἐν τῷ, τί ἐστι κατηγορούμενον.
- γ΄. ἐν ᾧ διδάσκει τὰς αὐτὰς διεξοδικώτερον. ὧν εἰς κατάληψιν ἐχνωτέραν ἐνδίδωσιν αὐτῷ τὴν τάξιν ἐκθέσθαι τῶν κατηγορουμένων ἐπὶ μιᾶς κατηγορίας.
- δ΄. ἐν ᾧ διέξεισι τὰς διαφορὰς αἷς πρὸς ἄλληλα χωρίζονται τὰ κείμενα ἐν ἐκείνῃ τῇ τάξει.
- ε΄. ἐν ᾧ περὶ ἀτόμου διδάσκει, τί τι ἐστὶ, καὶ ποσαχῶς λέγεται.
  - Ἢ κυρίῳ ὀνόματι σημαίνεται, ὡς Σωκράτης, Πλάτων.
  - Ἢ προσηγορικῷ. καὶ τοῦτο τριχῶς.
    - Ἢ δεικτικῶς διορίζομεν ταῦτα, ὡς οὗτος ὁ ἄνθρωπος, τοῦτο τὸ ζῶον.
    - Ἢ ἐξ ὑποθέσεως, ὡς ὅτε Σωφρονίσκου υἱὸν λέγοντες τὸν Σωκράτην δηλοῦμεν, μόνου καθ᾽ ὑπόθεσιν ὄντος υἱοῦ τοῦ Σωφρονίσκου τοῦ Σωκράτους.
    - Ἢ τῇ προσθήκῃ τοῦ μερικοῦ προσδιορισμοῦ. οἷον τὶς ἄνθρωπος, τὶς ἵππος.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

## Περὶ Διαφορᾶς.

ΕΚ τῶν εἰρημένων ἀνωτέρω ἐν τῷ περὶ Εἴδους κεφαλαίῳ, πρόδηλος ἡ τάξις τῆς διδασκαλίας ἐπὶ τῆς Διαφορᾶς. εἰ γὰρ ἠπόρηται περὶ αὐτῆς ἐν ἐκείνοις, τί δήποτε οὐ προτέτακται τοῦ Εἴδους, σχολῇ γε ἂν ἀπορήσειέ τις, τίνος χάριν τοῦ Ἰδίου καὶ Συμβεβηκότος προηγεῖται ἐπουσιωδῶν ὄντων. ἡ γὰρ Διαφορὰ οὐσιώδης οὖσα, καὶ συστατικὴ τοῦ Εἴδους, ἀναντιρρήτως προηγεῖται ἀμφοτέρων μὴ τοιούτων ὄντων. διαιρεῖται δὲ καὶ τὸ περὶ Διαφορᾶς κεφάλαιον τῷ Πορφυρίῳ εἰς τρία. ὧν ἐν μὲν τῷ πρώτῳ τὰ σημαινόμενα τῆς Διαφορᾶς προτίθεται, καί τινας ἑτερότητας πρὸς ἄλληλα τούτων ἀναπτύσσει. ἐν δὲ τῷ δευτέρῳ μέρει, τὸ ἰδιαίτατον σημαινόμενον, περὶ οὗ ὁ λόγος ἐνταῦθα προχειρισάμενος διαφόρως ὑπογράφει. ἐπὶ δὲ τοῦ τρίτου καὶ τελευταίου τὰς ἀποδοθείσας ὑπογραφὰς ἀναπτύσσει.

### Σύνοψις τῶν ἐν τῷ α΄. μέρει.

ΒΟυλόμενος ὁ Πορφύριος τὰ σημαινόμενα τῆς Διαφορᾶς ἐκθέσθαι, δύο διαιρέσεις προβάλλεται. ὧν ἐπὶ μὲν τῆς πρώτης εἰς τρία διεῖλε τὴν διαφορὰν, οἷον εἰς διάφορα σημαινόμενα. ἐπεὶ γὰρ ἡ Διαφορὰ καθόλου λαμβανομένη, ἑτερότης ἐστὶ, καθ' ἣν τὰ ὄντα πρὸς ἄλληλα διενήνοχε, διαφέρει δὲ ταῦτα, ἢ κατ' οὐσίαν, ἢ κατὰ συμβεβηκός, καὶ πάλιν τὰ κατὰ συμβεβηκὸς διαφέροντα, ἢ χωριστὴν τούτων ἔχουσι τὴν διαφορὰν, ἢ ἀχώριστον, τούτου χάριν τὴν μὲν κοινῶς εἴρηκε διαφοράν. τοιοῦτον γάρ ἐστι τὸ κυρίως χωριστὸν συμβεβηκὸς, δι' οὗ διαφέρει ἕτερον ἑτέρου, ἢ καὶ ἑαυτοῦ. τὴν δὲ ἰδίως. ὅπερ λέγεταί πως καὶ ἀχώριστον συμβεβηκός. τὴν δὲ ἰδιαίτατα. ἥτις ἐστὶ κυρίως καὶ ἀληθῶς ἀχώριστος τῆς οὐσίας. καὶ γὰρ χωρισθείσης ταύτης, ἀδύνατον μένειν τὸ ὑποκείμενον. ἔστι δὲ ἡ ἰδιαίτατα Διαφορὰ οὐσιώδης καὶ συστατικὴ τοῦ Εἴδους, καθ' ἣν ἕτερον ἑτέρου οὐσιωδῶς διενήνοχεν, ὡς Ἄνθρωπος Ἵππου διαφέρει τῷ λογικῷ.

Ἐκ τῶν εἰρημένων ἄρα συνάγεται καὶ ἡ ἑτέρα διαίρεσις τῶν σημαινομένων τῆς διαφορᾶς. τῶν γὰρ Διαφορῶν ὡς εἴρηται, αἱ μὲν εἰσὶ χωρισταὶ τῶν ὑποκειμένων ὧν εἰσὶ διαφοραὶ, αἱ δὲ ἀχώριστοι. καὶ χωρισταὶ μὲν εἰσιν, ἃς ἀνωτέρω κοινὰς ἀπεκάλεσεν ὁ Πορφύριος. τοιαῦται δέ εἰσιν ὡς τὸ καθέζεσθαι, τὸ λέγειν, τὸ περιπατεῖν, καὶ ἄλλα παρόμοια. αἵπερ οὐ μόνον ἕτερον ἑτέρου, ἀλλὰ καὶ τὸ αὐτὸ ἑαυτοῦ διαφέρειν ποιοῦσι. φέρε εἰπεῖν, ὡς ὁ

Σωκρά-

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Σωκράτης διαλεγόμενος, ἢ καθεζόμενος, διαφέρει Πλάτωνος ἀκροωμένου, ἢ ἱσαμένου. καὶ περιπατῶν, διαφέρει ἑαυτοῦ καθημένου, ἢ σιωπῶν ἑαυτοῦ λέγοντος. εἴρηνται δὲ χωρισαί, ὅτι ἐνδέχεται χωρισθῆναι τοῦ ὑποκειμένου ἄνευ τῆς ἐκείνου φθορᾶς. ἀλλὰ καὶ αἱ ἰδίως λεγόμεναι Διαφοραί, καὶ αὗται χωρισαί πως εἰσὶ τοῦ ὑποκειμένου. εἰ γὰρ μὴ ἄλλῳ τινὶ χωρίζονται, ἀλλ᾽ οὖν τῇ ἐπινοίᾳ, ἢ τῷ λόγῳ. φέρε εἰπεῖν τὴν λευκότητα τοῦ Κύκνου, ἢ τὴν σιμότητα τῆς Ῥινός, καὶ τῶν ὁμοίων, εἰ καὶ μὴ πράγματι χωρῆσαι τούτων δυνάμεθα, ἀλλ᾽ οὖν τῇ ἐπινοίᾳ καὶ τῷ λόγῳ οὐδὲν κωλύει χωρίζεσθαι. ἀχώρισοι δὲ Διαφοραὶ κυρίως εἰσίν, ἃς ἀνωτέρω ὁ Πορφύριος ἰδιαιτάτους ἐκάλεσεν, εἰ καὶ τὰς ἰδίους Διαφορὰς ταύταις καταριθμεῖται, διὰ τὸ εἶναι πράγματι ἀχωρίσους, ἀλλ᾽ οὖν τῇ ἐπινοίᾳ χωριζομένας. ἔσι δὲ ταύτας καὶ ταῖς χωρισαῖς συναπαριθμῆσαι. ὥστε διὰ μὲν τὸ εἶναι πράγματι ἀχωρίσους, ταῖς ἰδιαίτατα συναριθμοῦνται. διὰ δὲ τὸ ἐπινοίᾳ χωρίζεσθαι, καὶ ταῖς χωρισαῖς.

Ἔσι δὲ ἡ διαίρεσις αὕτη τῆς Διαφορᾶς ὁμωνύμου φωνῆς εἰς τὰ οἰκεῖα σημαινόμενα. τὸ δὲ διαιρούμενον ἐπὶ ταύτης ἐσὶ τὰ πράγματα, οἷς διαφέρουσι πρὸς ἄλληλα τὰ ὄντα κατὰ τὴν σχέσιν τῆς μεταξὺ τούτων διαφορᾶς. Ἐκεῖνα γὰρ διαιρεῖται, οἷς διαφέρει τὰ πράγματα. τὰ δὲ πράγματα πάντως πράγμασι διαφέρει. ὥστε καὶ ἃ διαιρεῖται ἐνταῦθα, πάντως εἰσὶ πράγματα, ὡς τὸ λογικόν, καὶ τἄλλα.

## Σύνοψις τοῦ β΄. μέρους.

Ἀνήκει τοιγαροῦν εἰς τὴν καθόλου φύσιν ἡ ἰδιαίτατος Διαφορά, ἥτις καὶ οὐσιώδης ἐσίν. ἔσχηκε δὲ τοιαύτας τινὰς ἰδιότητας αἷς τῶν κατὰ συμβεβηκὸς διαφορῶν διακέκριται, ἐξ ὧν καὶ μάλισα εἰσὶν αὗται. πρώτη, ὅτι αἱ οὐσιώδεις καὶ καθ᾽ αὑτὸ Διαφοραί, λαμβάνονται ἐν τῷ τῆς οὐσίας λόγῳ, οὐκ ἔτι δὲ καὶ αἱ κατὰ συμβεβηκός. δευτέρα, ὅτι ἡ οὐσιώδης Διαφορὰ προσγινομένη τῷ πράγματι, ποιεῖ τοῦτο ἄλλο, κατ᾽ οὐσίαν δηλαδὴ διαφέρειν. ἡ δὲ κατὰ συμβεβηκὸς ἐπιγινομένη τῷ πράγματι, ποιεῖ τοῦτο ἀλλοῖον, κατὰ συμβεβηκὸς δηλονότι διαφέρον. οἷον, τὸ λογικὸν προσγινόμενον τῷ Ζώῳ, πεποίηκε τὸν Ἄνθρωπον ἄλλο τοῦ Ἵππου, ζώου ὄντος κἀκείνου, ὁμοίως καὶ τὸ χρεμετισικόν. τὸ δὲ γραμματικόν, ἢ φαλακρόν, προσγεγονὸς τῷ Σωκράτει, οὐκ ἄλλο πεποίηκε τοῦ Πλάτωνος, ἀλλὰ ἀλλοῖον. τρίτη, ὅτι αἱ καθ᾽ αὑτό, καὶ οὐσιώδεις διαφοραί, οὐδεμίαν ἐπίτασιν, ἢ ἄνεσιν ἐπιδέχονται. αἱ δὲ κατὰ συμβεβηκός, καὶ ἐπιτείνονται, καὶ ἀνίενται.



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ἄνθρωπον ἢ τῷ ἀνθρώπῳ λευκὸν, καὶ μᾶλλον, καὶ ἧττον ἐστὶν εὑρεῖν, οὐ μέντοι μᾶλλον καὶ ἧττον λογικόν.

Τετάρτη. ὅτι αἱ καθ' αὑτὸ καὶ οὐσιώδεις Διαφοραὶ, διαιρετικαί τε εἰσὶ τῶν Γενῶν, καὶ συστατικαὶ τῶν ὑπ' ἐκεῖνα Εἰδῶν. ὅθεν καὶ εἰδοποιοὶ διαφοραὶ κέκληνται. ταῖς δὲ κατὰ συμβεβηκὸς οὐδέτερον πρόσεστιν. αἱ σὺν καθ' αὑτὸ Διαφοραὶ ὡς εἴρηται, διαιρετικαὶ λέγονται τῶν Γενῶν, καὶ τῶν Εἰδῶν συστατικαὶ καὶ εἰδοποιοί. οἷον εἰπεῖν τὸ λογικὸν καὶ ἄλογον. διαιρετικαὶ δὲ λέγονται τοῦ Ζώου, ὅτι κατ' ἐκείνας διαιρεῖται εἰς τὰ ἄλογα εἴδη, καὶ λογικά. αἱ αὐταὶ δὲ καὶ συστατικαὶ γίνονται τῶν ὑπὸ τὸ Ζῶον Εἰδῶν. ἡ μὲν λογικὴ τῶν λογικῶν, ἡ δὲ λοιπὴ τῶν ἀλόγων. καὶ ἡ μὲν λογικὴ λέγεται εἰδοποιὸς τῷ τοῦ Ἀνθρώπου Εἴδει, ἡ δὲ λοιπὴ τοῖς ἀλόγοις Εἴδεσι. ταῦτα δὲ ἀκριβέστερον θεωρηθήσεται ἐφ' ἑνὸς διαγράμματος, τοῦτον τὸν τρόπον.



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006